# ἘΠΙΘΑΛΆΜΙΟΝ

NVPTIIS, CLARISSI-
MI ET DOCTISSIMI VIRI, D. BASILII
*Fabricij Ziczai, Rectoris ſcholæ Patachinæ in Pannonia,
& pudiciſsimæ virginis Margaretæ, quæ ſoror eſt
excellentis Doctoris Ioannis Viti Bal-
ſaratij, ſcriptum*

A

CASPARE DECIO DISCIPVLO VITE-
bergæ Anno 1567. qui & annus eſt
ſolennitatis Nuptiarum.

Vitebergæ excudebat Iohannes
Crato.

*ANNO M. D. LXVII.*

ΑΡΤΙ λιλαιομένῳ βεβαρηότα ἦτρα μήδει
ἐντελέχει, ἀνέσαι, καὶ ἄχος δηλήμονα θύμων,
ἀποτέρω βαλέειν ψυχῆς, καὶ ἔπαρσιν ἰδέσθαι,
εἶτε νόον προείνοι, ἐροέσσαν ἐς Ἀλβίδος ὄχθην
ἔρχεσθαι, μουσῶν τε φίλον χόρον ὄμμασι λυτῖς,
ἔνθα καὶ ἔνθα βαδιζόμενον φιλέεσθαι.
ἔρχομαι, ὡς οἰμήματ' ἀλισκόμενος τινὶ δίῳ
καὶ κίον ὀρθοποδῶν καὶ ἴθμασι γαῖαν ἀμέργων.
ἐσημένος κατὰ θεῖον ἀποτροφὸς ἐγγύθεν ἀνὴρ
ἀντιμολεῖ, ἐν χερσὶν ἔχων ἐπίσημον ὁδίτου.
ἥματι ἐσσόμενος κούφῳ (τὸ γὰρ ἐστὶν ἄμεινον
ὅστις ὁδοιπορέειν ἐντύπου προτέρωσε νομίζει.)
ἀλλά τ' ἐπαρτίως κρηπῖδα τε ἀμπεχόνην τε
τασσόμενος δίκην ἀνδρὸς τρόμεον ἐν φρέσι θέντος.
σπεύδει κοικύλλων εἴπως τιν' ἐφέσιον ἄνδρα
ἠδὲ κασίγνητόν τ' ἠδ' ἀρ φίλον ὄμμασι λεύσσειν
ἢ δύναται φιλέειν ψυχῇ, ἐ ἐς οἶκον ἱκέσθαι.
τὸν δ' ἄρ' ἀπικόμενος προσέειπον εὔφρονι μύθῳ
(ὅττι νοησάμην φίλῳ φίλον ἔμμεναι αὐτὸν)
ξεῖνε θεόσδοτε, φίλε θεῷ, κεχαρισμένε ἄμμι
σχάζε πόδας πρόσκαιρον, ἐμοῖσί τ' ἔπειτα λόγοισι
ὦτα χορήγησον, μὴ μοῦ λάγγαζε λαλοῦντος
παῦρα, φιλεῖ ὀθνεῖος ἀνὴρ ὀθνήιον ἄνδρα
ἀμφω ἐπείσακτοι, καὶ ἄλλοθεν ἤλθομες ἀμφώ,
σὺ μὲν καινοπρεπὴς ἀφικάνεις οὐδὲ γινώσκεις
ἀνδράσιν ἀλλοφύλοις φυγέειν ἀπὸ πατρίδος αὐτῆς
καὶ ἀπορεῖν αὐτῆς ὅσσον κακὸν οὖσι πένησι.
ἡμεῖς δὲ χρόνιοι ξεῖνοι, ὡς γνήσιοι ἔσμεν
ἐνθάδε ζώσαντες μετὰ πόλλων πολλὰ παθόντες.
οὐ χρή σε σπαργᾶν ἕτερον τινά, ἠδὲ πυθέσθαι

ὅσσα θέλεις κένσαι καὶ ἐτήτυμα πάντ' ἀγορεύω
ἄρχων σοι ἔσομαι ἀδαήμονα τ' ἐς δόμον ἄξω
τὸν δ' ἐμῷ θυμῷ πεφιλημμένε εἶπε καὶ αὐτὸς
αἴσια μυθήσας, πόθεν ἤλυθες ἡμέτερον δῶ
καὶ πόλιν ἱστορέειν, ἄλλως τε τί δ' ἐστὶ νέορτον;
ὣς ἐφάμην, αὐτὸς δ' ἐὼν ὁμιλητικὸς ἀνὴρ
αἶψα μαλασσόμενος περιγηθέα χείλεα λύσας
ἤραρε, Παννονίης κλεινῆς μελιηδέος οἴνου,
καὶ ἄλλων ἀγαθῶν ἀφνήμονος, ἦλθον ἀπ' αἴης.
εἵνεκα φραδμοσύνης, καὶ τοι ἐρίηρε ἑταίρων
ὅσσα θέλεις λέξω καὶ ἐτήτυμα πάντ' ἀγορεύω.
ὣς θεὸς οὐράνιος φίλης τῆς πατρίδος αἴης
ἡμετέρης, ἐλεῶν, ὀλίγην ἀπέδωκε γαλήνην
κοιμίσας δῆρας, σφαλεροὺς πολέμους καταλύσας
ὕστερον ἡμέτεροι λάοι ἤρχοντο δόχησι
προστάσσειν, ἤρχοντο φιλεῖν, ἤρχοντο γαμίζειν,
(ὡς φιλεῖ) οὐδὲ πόλις πέλεται πόθ' ἔκητι γαμούντων.
νὴ Δία, αὐτὸς ἐγὼν τοῖς ὀφθάλμοισι ὄπωπα.
καὶ γὰρ ὁδοιπορέων, πτολέθρον κλυτὸν εἴλυθον εἰσ.
τὸ τ' πόταμος πανακὴς ἐπινήχεται ὕδατι λευκῷ
καὶ πολλοῖς ὀρέγει πόσιν ἤπιον, ἔλλοπα πολλοῖς,
ἀλλὰ καταντίστην ἀλδησκόμενος περιχαίνει
πόλλους, μητρυιὴ πέλει ἄλλοτε, ἄλλοτε μήτηρ.
τὴν δ' ἄρ' ὁμόψυχοι Βωδρὼγ καλέουσι πολῖται.
ἄστεος ἡγεμονῆες ἀγήνορες ἄνδρες ἔασι,
θουραίων Περενῶν γένος ἴφιον, οἵδε θανόντες
οὐκέτι ἠελίοιο καλὸν φάος εἰσορόωσι.
τᾶδε πορῶν ἐγὼ ἄνδρας εὐφροσύνῃσι νοοῖο
γηθομένους ἐνόησα, μάλιστα δ' ἀφείμενοι ἄλλων
εἰσιν εὐφρότατοι (σοῦ γὰρ κηλημὸς ἔοικε.)
πάντες λαύζαωνται πρόθυμοι καὶ πάντες ἀείδειν
χείλεα λύσαντες, πόλιν ἐμπίμπλαντο λάλακτος,
οὐδεὶς

οὐδεὶς οὐδεμίαν λύπην ἐνὶ ἥπερ λείπων.
οἵδε νέοι πόσιος καὶ ἐδύτυος ἐξ ἔρον ἕντες
σὺν ταῖς παρθενικαῖς ἀταλόφροσι χεῖρα λαβόντες
τάξιν ἐποιήσαντο, ὅπως χαριέστερον ἅλμα
πᾶσιν ἀπόπλαισιν καὶ δαιτυμονέσσι γένοιτο.
καὶ τότε προβλώσκουσι κιθαριστῶν στίχες ἀνδρῶν
ἄθραι, ὁμοψυχῶς κιθάρας στηθέσσιν ἐοῦσαι
ἀρσάμεναι, λιγυρῶς, κιθαρίσαντες κιθάρισται.
οἵδε νέοιτε νέαιτε ἀγήνορες ἅλματι κούφῳ
τέρψιν ἀπόπλαισιν καὶ δαιτυμονέσσι δίδοντο
εἶδα δὲ καὶ χρήων τὰς μὲν πηδήματι καννῷ
χαίρειν, κικλησμὸν καὶ γηθοσύνην δονέουσας
πᾶσιν, τὰς δὲ πέριξ πολυανθρωποῖο τραπέζης
σώματα ὀρχησμοῦ ἀφυέστατα παλλεύουσας.
παυσάντων, παρέχουσιν ἐπάλλονες οἰνοχοοῦντες
χερσὶν δὴ τότ' ἄλεισον ὀρεγνύμενοι μελιηδοῦς
οἴνου, τὸν πρώην ἀπὸ ἀμπέλου ἀμπελοφύτωρ
εἰς οἰῶνα ἀνήοχε, πολλῷ χάρματι χαίρων.
πρόσδε ὑποδμώων ἐφορῶν ἐμὲ ἔκτοπον ἄνδρα,
αὐτίκα δὴ θορέων, πολυοίνου εἰς ἀποθήκην
ἤλθεν καὶ πόρε μοι οἰνήρυσιν ἀμφικύπελλον
δηθὰ ἀναγκάζων, (οὐ γὰρ προιδέξιος ἦα
ἐξαντλᾶν,) ἔτι δὲ πλείω δόμεν ὑπολόγιζε,
ἀλλὰ καθειργνύω, τις ἐπείπερ φιλομαθὴς φῶς.
ἤργετο, πάντες δαιτύμονες τ' ὄφθαλμον ἐπ' αὐτὸν
ἦσαν ῥυθμίζοντες ὁμῶς περιλοιποίτε νέοιτε.
κἀγὼ ἄσσον ἰὼν προσέειχον φράδμονι θυμῷ
ποῖα λέγοντο καὶ ἡλίκα, ἠδὲ ἐπὶ τούτοις
εἶεν ἀκουσάμενος ΒΑΣΙΛΗΟΣ πολλάκι φώνην
ΦΑΒΡΙΚΙΟΣ, λεξάσθαι, ἐγὼ δὲ μὲν αὐτίκα γαμβρὸν
ἔμμεναι ἐξέμαθον, καὶ εἰς χάριν ἀνδρὸς ἀρίστου
ταῦτα γράφεσθαι, ἔλω δέ τε χρηστὸν ῥήτορα φῶτα

πειθόμενος σιγῇ, ὅδε τοῖον φθέγξατο μῦθον.
χαίρετε πάντες ἑταῖροι εὐφροσύνῃσι νόοιο,
χαίρετ' ἀπορρίπτοντες ἄχος μελιηδεῖ οἴνῳ.
μνηστὴρ καὶ μνήστη νομικοὶ καὶ εὔφρονες ἀμφὼ
γηθοσύνην πᾶσιν τοῖς ἐνθάδε κοινανέουσι
εὐφράνθητε χάριν τῷ χριστῷ ὑψιμέδοντι
εἵνεκα τῆς χάριτος δόντες περιγηθεῖ φωνῇ.
οὐ γὰρ εὐκτότερον μήδ' ἄρ χαριέστερον ἄλλο
δῶρον ἐδώρησαν θνητοῖς οἱ ἀθάνατοι θεοὶ,
ἡ ἐμπόλης γαμικοῖο, θεοῦ γάμος ἔπλετο ἀκτής.
αὐτὸς ἐφδιρῆζας πολυπίδακι ἐν παραδύσῳ
πρῶτος, ἐπὶ γαῖαν πήξας πυκιμήδεϊ χειρὶ
ἀνθρώπων ποίησε γένος γαιήϊον Ἀδάμ.
αὐτοῦ μὲν γὰρ ἔοντος ἄτερ συμπράκτορος, ἰσὼς
εἶπε θεὸς: μὴ οὐ μοῦνον καλὸν ἔμμεναι αὐτὸν,
αὐτὰρ ἐπειγόμενοι, ποιήσομεν αὐτῷ ἑταῖρον
ὅς δέμας, ἠδὲ φίλην, ἐναλίγκιος ἀνδρὶ γένοιτο.
ἀμφὼ ὀαροίσμοισιν ἐφηδομένω λιγύροισι
υἱας, ἀνθρώπων γένος, ἔννομα ἀντιφιτεύειν
ἠδὲ ἀμαλθεύειν, καὶ ἤθεα κέδνα διδάσκειν
ῥαιστάζωσι, θεῷ ἐπιήρανον ἐκμελετῶντες
ἄχθος, ἔπειτα δὲ θεὸν πάντων, συγγνώμονι θυμῷ
γνωρίζωσι, θεῷ μούνῳ γλώσσᾳ τε νόῳ τε
δουλοσύνην περικλήιτον ἐῷ ῥέξαντι διδόντες.
ὣς φάτο παντοκράτωρ, ὕπνον δ' ἐπὶ αὐτὸν ἐπάξας
νήδυμον, εὐπρακτον πλευρὸν χειρέσσιν ἀνοίξας,
κλέψε καθεύδοντι πλευρὰν, καὶ πλῆσε γυναῖκα
ἀντιάνειραν, ἐοῦσαν εὔφρονα, καλλιπάρῃον.
ἤγαγε δὲ θεὸς ἑταῖρον ἐρημικὸν, ἣ πόσιν Ἀδάμ.
ὃς μὲν μιν λεύσσων, τοίωδ' ἠμείβετο μύθῳ,
Ἡ ΣΑΡΖ ἐστὶν ἐμὴ, καὶ ὀστέον ἔπλετο τοὔμον
ἐκ τῆς σαρκὸς ἐμῆς σάρξ, καὶ τοῦ ὀστέου ὀστοῦν.

αὐτὴν

αὐτὴν δῆτα φιλήσομαι ὕστερον, ἠδὲ γεραίρω.
οὕτω δὴ πρῶτοι ἄνθρωποι ἠδὲ γονῆες
ζευγνύμενοι δύω ἔνι σώματι ζῆλος ἔοισι
ἥεσι τοῖς πᾶσιν τοὶ ἐσσόμενοι, τελέθωσι.
τῶν νῦν πάντες ὁμῶς κατὰ συνθήκην μιμέονται
ζηλοῦσιν γὰρ ἑταῖρον, ἕως ἐθέλωσι κιχῆσαι.
οἱ μὲν ἀτολμότατοι, δυσειδέα σκυλλοπρόσωπον
ἠλεαατὴν, στεριφὴν, καὶ ἀδεχθέα ἀλφαδέουσι.
οἱ δ᾽ εὐτολμότατοι εὐειδέα καλλοπρόσωπον,
πεπνυμένην, γονιμόν τε, εὐσχήμονα, εὑρίσκουσι.
ἀμφω μὲν θεόθεν ξυνάωρ ἀγαθή τε κακή τε,
ἀλλ᾽ ἡ μὲν χάριτος, κρίσεως δόσις ἔπλετο ἥδε.
οὐ ΓΑΡ μοῦνον ἐὼν δόσεων γένος, ἀλλ᾽ ἐπὶ γαῖαν
εἰσὶ πλέω, θεὸς οἷα θέλει τοῖς πᾶσι λοχῖσαι.
ὄλβιος ἡμέτερος μνηστὴρ Βασιλῆος ἔγεντο
Φαβρίκιος, Χριστοῦ θεράπων Χριστοῦ μελέδημα.
οὐ γὰρ τῆς κρίσεως δόσιν ἔλλαχε θεόθεν, ἀλλὰ
τῆς χάριτος, γαμετὴν πανυπείροχον ἐξευρήσας.
οὔνομα τῆς γαμετῆς ἦθος διαείδεται αὐτῆς,
ὅττι καλὴν κροκίαν σημαίνει Μάργαρις, ἠδὲ
ἐστὶ λίθος πᾶς ἔντιμος, ἀνθρώποις τε θεοῖς τε
ἱμερόεις, αὐτὸν πάντες φιλέουσ᾽ ἄνθρωποι.
πολλαὶ μὲν γαμεταὶ, ὧν οὔνομα Μάργαρις, εἰσὶ,
παῦραι δ᾽, ἐν γαίῃ αἳ ἀληθὲς Μαργαρὶς ἐντί.
ἀλλὰ Φίλῳ ἀπέδωκε θεὸς θεράποντι γυναῖκα
Μάργαριν, ἣ ὄντως ὄνομ᾽ ἄγλαον ἐστὶ φέρουσα.
ἡ γένος, ἠδὲ φύσιν, ἠδ᾽ ἂρ βίον ἠδὲ τι ἄλλο
τίς ἂν ἐπισκέψειε, θεόσδοτον ἔμμεναι αὐτὴν
γνωρίσει, γνωσθεῖσαν ἐπευφημήσεται ὕμνοις.
σὺ γὰρ πόσις Φίλε, ἦλθε φίλη ὄψεια γαμοῦσι,
λάμβανε χεῖρ᾽ ἀλόχου, καὶ ἐς στολίδωτον ἔπαυλιν
εἴσαγε, τοῦ ἁγίου φιλτησίου ἕνεκα, Χριστὸς,

τῆς

τῆς κηδείας δ᾽ ἄριστος ἄναξ ἡγήσεται ὑμῖν.

ὡς τότε μυθήτης φάτο μῦθον φιλομαθὴς φώς,
ἄλλοί δε δμῶες λαμπρὸν φάος ἐμφαίνοντες
γηθόσυνοι γαυρὸν γαμβρὸν ποτὶ δώματ᾽ ἐπάξαν.
ἀλλ᾽ οἱ δαιτύμονες πολλὴν δαίνυντ᾽ ἐπὶ νύκτα
πολλὸν ἀείδοντες χαίροντες δ᾽ ἄλματι πόλλῳ,
ἀλλά τ᾽ ἀολλήδην, χάριν οἴδασιν ἔμφρονι χριστῷ
ὃς γάμον ἀνθρώποις, ὅσιον βίον, ἐκμελέτησε.
καὶ φιλέει καὶ ὠφελέει ἐπὶ πᾶσι γαμοῦντας.

ὡς ἄρα λῶστε ἀνὲρ σὺν δαιτυμονέεσσι φίλοισι
κἀγὼ τῷ χριστῷ ἐλεήμονι τὴν χάριν οἶδα
ὡς μετὰ δεῖνα περώσια (σεῖο κακῶν ἐλεαίρων)
χάρματα κουφίζει κακὰ, συμβουλῇ βαρὺ πένθος.
πόλλ᾽ ἔπαθες, πολλῆς καὶ ἄξιος ἔσσ᾽ ἀλεωρᾶς.
ἄμφι πάθει, καὶ ἀμφὶ κακοῖς, καὶ ἀμφὶ πόνοισι
ἀθάνατος θεὸς, ἀθάνατον μίσθωμα διδοίη.
τῷ δὲ βίῳ χρονίῳ, χρόνιον βίον ἄλλον ἐπίσχων
ζήσῃς λυσιτελὴς τῇ πατρίδι, ἠδὲ δάμαρτι
τῆς γαμικῆς θήγης δέχοντι ἐπεύχομαι ἄκρως.

Τέλος.